ἐπειδὴ τὸ ἀδικεῖν, ὡς ὁμολογεῖς, ὦ Πῶλε, αἰσχρόν ἐστι, δῆλον ὅτι ἢ λυπηρόν ἐστιν ἢ βλαβερὸν ἢ τὸ συναμφότερον· ἀλλὰ μὴν λυπηρὸν οὐκ ἔστιν· οὐ γὰρ διὰ τὸν ἀδικοῦντα λυπούμεθα, ἀλλὰ διὰ τὸν ἀδικούμενον· ἀλλ' οὐδὲ τὸ συναμφότερον· ὅλως γὰρ εἰ οὐκ ἔστι λυπηρὸν οὐδὲ τὸ συναμφότερον, λείπεται οὖν βλαβερὸν εἶναι· τὸ ἄρα ἀδικεῖν βλαβερόν, τὸ δὲ βλαβερὸν κάκιον, καὶ κακὸν ἄρα τὸ ἀδικεῖν· ἄξιον δὲ ζητῆσαι, πῶς λέγει ὁ Σωκράτης, ὅτι ὁ μὲν ἀδικῶν λυπεῖ, ὁ δὲ ἀδικούμενος λυπεῖται καὶ λύπης ἐστὶν ἄξιος· τί οὖν; εἰ ἦ σπουδαῖος, λυπεῖται; φαμέν, ὅτι ἄλλο ἐστὶ ζητεῖν, τί αὐτὸ καθ' αὑτὸ καὶ ἄλλο κατὰ συμβεβηκός. ἰδοὺ γὰρ τὴν γραμμὴν λέγω καὶ ἔχειν πέρατα τὰ σημεῖα καὶ μὴ ἔχειν· τὴν μὲν γὰρ γραμμὴν τὴν κατ' εὐθὺ λέγω ἔχειν, τὴν δὲ κυκλοφορικὴν οὐκ ἔχειν, εἴ γε οὐδὲ ἀρχὴν ἔχει ὁ κύκλος· ὥστε ὅταν λέγω μὴ ἔχειν αὐτήν, οὐχ ὡς γραμμὴν ἁπλῶς ἐξετάζω ἀλλ' ὡς ποιότητα ἔχουσαν, ὡς τοιάνδε γραμμήν, ἐπεὶ ἡ γραμμὴ ἔχει· οὕτως οὖν καὶ νῦν ᾗ μὲν ἀδικεῖται ὁ ἀδικούμενος λυπεῖται, ᾗ δὲ σπουδαῖος κατακρατῶν τῶν παθῶν οὐ λυπεῖται· ὥστε ὁ ἀδικούμενος ὡς ἀδικούμενος λυπεῖται, οὕτω γ' οὖν οἱ μὴ σπουδαῖοι λυποῦνται, καὶ ἄλλως αὐτὸς ὁ Σωκράτης εἶπεν, ὅτι καλὸν μὲν μήτε ἀδικεῖν μήτε ἀδικεῖσθαι, εἰ δὲ ἄρα, κρεῖττον τὸ ἀδικεῖσθαι τοῦ ἀδικεῖν· ἀποδείξαντος τοίνυν τοῦ Σωκρά- 6
τους τοῦτο ὁ Πῶλος ἄρχεται ὀκνεῖν καὶ καταπίπτειν· λέγει τοίνυν αὐτῷ ὁ Σωκράτης, ὅτι μὴ ὀκνήσῃς καὶ πάθῃς τὸ τῶν παιδίων τῶν εἰς ἰατροὺς μὲν φοιτώντων διὰ τὸ ἰαθῆναι κλαόντων δέ· ἀλλὰ θάρρει· καλὸν γάρ ἐστι τὸ ὠφεληθῆναί σε καὶ μὴ προσέχειν τοῖς πολλοῖς καὶ τῇ τούτων μαρτυρίᾳ· διὰ τοῦτο γὰρ καὶ ἔλεγόν σοι πρὸ μικροῦ, ὅτι κἀγὼ καὶ σὺ πάντες ἴσμεν, ὅτι κρεῖττον τὸ ἀδικεῖσθαι τοῦ ἀδικεῖν, ἐὰν προσέχωμεν ταῖς κοιναῖς ἐννοίαις· ὁ τοίνυν Πῶλος μὴ θέλων ὁμολογῆσαι τὸ ἀληθές, ἀλλὰ μὴν μήτε δυνάμενος ἀνατρέψαι, φησίν, ὅτι οὗτος μὲν ὁ λόγος, ὁ νῦν παρὰ σοῦ εἰρημένος, δείκνυσι τοῦτο· εἰσὶ δὲ ἄλλοι λόγοι οἵ ὀφείλοντές σε ἀνατρέψαι· ἰστέον δέ, ὅτι ἀδύνατον εὑρεθῆναι, ἐπειδὴ τὸ ἀληθὲς οὐδέποτε ἐλέγχεται.

---

3 mg. ἀπορία 9 mg. λύσις 34 mg. ση.